Μιχαῆλος. »Οὐδεὶς τῶν παλαιῶν, ὦ φιλότης, οὐθ' ὅσοι γε συνέθεντο 8, 1
ἐπιστήμας, οὔτε οἷς ἄλλοις ἐν τοῖς σφετέροις συγγράμμασι τοιαῦται ξυν- L 99
έτυχον ὑποθέσεις, μᾶλλον οὐσίας τὰ καθ' ἕκαστα ἠξίωσαν τῶν εἰδῶν.«

Ἀνδρόνικος. Καὶ ποῦ σὺ ἢ τίσι τῶν παλαιῶν συγγράμμασιν ἐντυχὼν 2
καὶ γνοὺς ἀκριβῶς μηδένα ἐκείνων τὰ καθ' ἕκαστα τῶν καθόλου μᾶλλον
οὐσίας ἠξιωκότα; διισχυρίζῃ βοῶν μηδένα ἐκείνων τά γε τοιαῦτα ἠξιωκέναι.
δεδόσθω δὲ ὅμως μηδένα τῶν παλαιῶν τοῦτο ἠξιωκέναι, οὐδ' ὅλως ἡμᾶς
αἱρεῖς. πολλὰ γὰρ καὶ ἄλλα τοῖς παλαιοῖς μὲν οὐχ εὕρηται, διὸ καὶ πολλοῖς
ἀτόποις ἐνεδίδοσαν λόγοις, ὥσπερ δὴ καὶ περὶ τῆς τοῦ ὄντος δόξης. μὴ γὰρ
δυνάμενοι κατιδεῖν, ὡς τὸ αὐτὸ ἕν τε καὶ πολλὰ οὐκ ἀδύνατον εἶναι, ἓν μὲν
ἐνεργείᾳ, δυνάμει δὲ πολλά, καὶ αὖθις ἐνεργείᾳ μὲν πολλά, δυνάμει δὲ ἕν,
ἀναγκαζόμενοι δ' ὑπὸ τῶν λόγων οἱ μὲν τὸ ἔστιν ἀφῄρουν, οἱ δὲ τὴν λέξιν
μετερύθμιζον, ἕτεροι δὲ εἶναί τι μὴ ὂν ἐντίθεσαν, οἱ δὲ τὰς ἀτόμους εἰσήγαγον. B 8
τοῖς δὲ περὶ Ἀριστοτέλη τοῦτό τε κάλλιστα εὕρηται, καὶ ἄλλα πλεῖστα οὐ
πρὸς λογικὴν μόνον, ἀλλὰ καὶ ἠθικὴν καὶ φυσικὴν καὶ θεολογίαν τὰ μέγιστα
συμβαλλόμενα. ἔστι δ' ἃ καὶ τοῖς περὶ Πλάτωνα. τί οὖν ἄτοπον, εἰ καὶ τοῦτο
ἠγνοεῖτο μὲν τοῖς παλαιοτέροις, Ἀριστοτέλη δὲ ἅτε οὐ τῶν πρὸ αὐτοῦ μόνον,
ἀλλὰ καὶ τῶν μετ' αὐτὸν νοῦ τε ὀξύτητι καὶ σπουδῇ διενηνοχότα πολλῷ καὶ
τὴν φύσιν τῶν ὄντων ἀκριβέστατα διηρευνοκότα οὐδὲ τοῦτ' ἔλαθεν; ἀλλὰ
πρὸς πολλοῖς ἄλλοις καὶ καλλίστοις εὑρὼν αὐτὸς πρῶτος οὕτως ἐκάλεσε.
τοῦτ' ἄρα καὶ Θεόδωρος εἰδώς, εἴτ' αὐτός φησιν οὕτω πρῶτος καλῶν, εἴτε
καὶ ἑτέρων τινῶν παλαιτέρων δόξῃ καὶ διαιρέσει καὶ λέξει χρώμενος.

Ὅτι δὲ ἁπλούστερον οἱ πρὸ αὐτοῦ τῶν φιλοσοφίας δογμάτων ἥπτοντο 3
καὶ ὡσανεὶ ψελλιζόμενοι, πλείστους ὅσους ἔχοντί μοι παράγειν μάρτυρας
δύο ὅμως Εὔδημός τε καὶ Πορφύριος ἀποχρήσετον. Εὔδημος μὲν λέγων·
»Παρμενίδου μὲν οὖν ἀγασθείη τίς ἂν ἀναξιοπίστοις ἀκολουθήσαντος λόγοις
καὶ ὑπὸ τοιούτων ἀπατηθέντος, ἃ οὔπω τότε διεσαφεῖτο; οὔτε γὰρ τὸ πολλαχῶς
ἔλεγεν οὐδείς, ἀλλὰ Πλάτων πρῶτος τὸ δισσὸν εἰσήγαγεν, οὔτε τὸ καθ' αὑτὸ
καὶ κατὰ συμβεβηκός, φαίνεταί τε ὑπὸ τούτων διαψευσθῆναι. ταῦτα δ' ἐκ
τῶν λόγων καὶ τῶν ἀντιλογιῶν ἐθεωρήθη καὶ τὸ συλλογίζεσθαι· οὐ γὰρ
συνεχωρεῖτο, εἰ μὴ φαίνοιτο ἀναγκαῖον. οἱ δὲ πρότεροι ἀναποδείκτως ἀπε- L 99v
φαίνοντο.« ταυτὶ μὲν Εὔδημος. Πορφύριος δὲ ἐκθέμενος τοὺς λόγους σχεδὸν
ἁπάντων τῶν ἕν τε τὸ ὂν εἰπόντων καὶ τῶν πολλὰ καὶ τοὺς ὕστερον δείξας
θορυβηθέντας τε καὶ τοὺς λόγους ἐπιχειρήσαντας λύειν, ἑτέροις ὑπ' ἀγνοίας
ἀτοπωτέροις ἑαλωκότας πρὸς τὸ μηδ' ἐκπεφευγέναι τὴν ζήτησιν ἐπάγει·
τὴν τοίνυν τοιαύτην καὶ τηλικαύτην ἀπορίαν μόνος ὁ Ἀριστοτέλης σύνοιδεν,
ὅπως λύειν χρή. τὰ γὰρ ὄντα φησὶ μὴ ὁμοίως ὄντα εἶναι. διὸ μὴ εἶναι αὐτῶν
γένος τὸ ὄν, ἀλλὰ τὸ μὲν τοιοῦτον εἶναι, ὃ καὶ αὐτὸ καθ' ἑαυτὸ ὑποστῆναι B 8v

---

1 ὦ L] B *om.* | 35 πρὸς τὸ L πρὸς τῷ B

1 Mich. Ap. Obiect. c. 2, 2 *(supra p. 163, 4—6).* | 26 Eudemi Fragment. XI *(coll. L. Spengel) p. 21, 26—22, 8.* | 36 Porphyr.? cf. In Categ. *(ed. Busse) 139, 22—30.*

Ε.Υ. ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δύναται, χαρακτῆρα ἐμφαῖνον ἴδιον. τὰ δὲ ὄντα μὲν οὐχ ὁμοίως δὲ μετειληφότα τοῦ ὄντος, ἀλλὰ κατ' ἄλλον τρόπον τῷ ἐκείνῳ εἶναι καὶ ἠρτῆσθαι ἀπ' ἐκείνου πρὸς τὸ εἶναι. τὰ μὲν οὖν ῥήματα τοῖν ἀνδροῖν ταῦτα. ἐξ ὧν ἔχοι τις ἂν κατιδεῖν τό τε τῶν παλαιῶν ἁπλούστερον περὶ τὴν τῆς ἀληθείας εὕρεσιν καὶ τὴν Ἀριστοτέλους πρὸς τοὺς πρὸ αὐτοῦ πάντας ὑπεροχήν. μόνος, γάρ φησιν, Ἀριστοτέλης σύνοιδεν, ὅπως χρὴ λύειν τὴν τοιαύτην καὶ τηλικαύτην ἀπορίαν. ταῦτά φησι Πορφύριος, ὁ τοῦ Πλάτωνος ὑποφήτης, ᾧ κἂν Πλήθων ἴσως παραχωρήσειεν.

4 Ὁ δὲ αὐτὸς ὡς ἄτοπον ἐπάγεις, τὸ »τὴν οὐσίαν τὴν παθητὴν τῆς ἀπαθοῦς συμβαίνειν πρότεραν εἶναι καὶ μᾶλλον οὐσίαν«, τοῖς μὲν τὰ καθόλου χωριστὰ καὶ καθ' αὑτὰ ὑφεστηκότα τιθεμένοις δόξειεν ἂν ἄτοπον εἶναι. πῶς γὰρ ἂν τὸ σύνθετον καὶ φθαρτὸν καὶ αἰτιατὸν τοῦ γε ἁπλοῦ καὶ ἀφθάρτου καὶ αἰτίου πρότερον καὶ μᾶλλον οὐσία ἂν εἴη; τοῖς δ' ἐκ τοῦ περιπάτου ἀχώριστα τιθεμένοις οὐκ ἄτοπον πρώτας τε καὶ μάλιστα καὶ κυριωτάτας οὐσίας τὰ καθ' ἕκαστα λέγειν, δευτέρας δὲ τὰ καθόλου. πρώτας μέν, διότι πρώτοις τοῖς αἰσθητοῖς καὶ συνθετοῖς — ταῦτα δ' εἰσὶ τὰ ἄτομα — ἔπειτα τοῖς ἁπλοῖς καὶ κοινοῖς ἐπιβάλλομεν, καὶ διότι ἐν τοῖς κατὰ μέρος καὶ τὰ κοινὰ τὸ εἶναι ἔχει· κυριωτάτας δέ, ὅτι τῶν ἄλλων καθ' ὑποκειμένων τῶν καθ' ἕκαστα λεγομένων αὗται καθ' αὑτὰς τυγχάνουσιν οὖσαι, μήτε καθ' ὑποκειμένου λεγόμεναι μήτε ἐν ὑποκειμένῳ οὖσαι· μάλιστα δέ, ὅτι κατὰ τὸ ὑποκεῖσθαι ἡ οὐσία χαρακτηρίζεται. τὰ δὲ καθ' ἕκαστα ὑπόκειται οὐ τοῖς συμβεβηκόσι μόνον ἐν ὑποκειμένοις οὖσιν ἐκείνοις, ἀλλὰ καὶ τοῖς καθόλου καθ' ὑποκειμένων αὐτῶν λεγομένοις.

Ἔτι δὲ εἰ τὸ καθ' αὑτὸ εἶναι τὰ μάλιστα τὴν οὐσίαν χαρακτηρίζει, ὡς δὴ καὶ Ἀρχύτας φησί, »μόναν ταύταν λέγων ὑποκεῖσθαι τοῖς ἄλλοισι καὶ
B 9 αὐτὰν καθ' αὑτὰν δύνασθαι νοεῖσθαι« — τούτου δὲ τὸ μήτε ἐν ὑποκειμένῳ μήτε καθ' ὑποκειμένου χαρακτηριστικά, ἄμφω δὲ τὰ καθ' ἕκαστα ἔχει· οὔτε γὰρ καθ' ὑποκειμένου οὔτε ἐν ὑποκειμένῳ εἰσί, τῶν γενῶν καὶ τῶν εἰδῶν εἰ καὶ μὴ ἐν ὑποκειμένῳ, ἀλλ' οὖν καθ' ὑποκειμένων τῶν πρώτων οὐσιῶν λεγομένων — πῶς οὐκ ἂν μάλιστα οὐσίαι τὰ καθ' ἕκαστα εἶεν, ἀκριβέστερον ἢ τὰ γένη καὶ τὰ εἴδη τοὺς χαρακτῆρας σῴζοντα τῆς οὐσίας; ἀλλὰ μὴν τὰ μὲν
L 100 καθόλου δυνάμει τὰ καθ' ἕκαστα, τὰ δὲ καθ' ἕκαστα ἐνεργείᾳ τὰ καθόλου περιέχει. τὸ γὰρ καθόλου, εἰ μὲν ὡς ἀκατάτακτόν τις θεωροῖ, περιεκτικὸν ὁρᾷ τῶν κατὰ μέρος, εἰ δ' ὡς κατατεταγμένον, περιεχόμενον ὁρᾷ ὑπὸ τῶν καθ' ἕκαστα, μέρος ὂν αὐτῶν καὶ συμπληρωτικὸν τῆς οὐσίας αὐτῶν μετὰ τῆς διαφορᾶς. εἰ οὖν οὕτω ταῦτα ἔχει, τὸ δ' ἐνεργείᾳ τοῦ δυνάμει πολλῷ κυριώτερον καὶ τιμιώτερον εἰς οὐσίας λόγον, πῶς οὐκ ἂν κυριώτατα καὶ μάλιστα οὐσίαι εἶεν τὰ καθ' ἕκαστα;

9, 1 Μιχαῆλος. »Τῇ σφετέρᾳ ἐπαμύνειν βουλόμενος δόξῃ, ὡς οὐχ ὑφεστήκασι καθ' αὑτὰς αἱ ἰδέαι, ἀλλ' ἐν τοῖς ἀτόμοις ἢ ἐπινοίαις ψιλαῖς ἐπιθεωροῦνται.«

---

1 ἐμφαῖνον L ἐμφαίνων B | 3 ἔχοι B ἔχει L | 39 ἢ ἐπινοίαις] L² *suppl.* ἢ B *om.* ἢ

9 Mich. Ap. Obiect. c. 2, 2 *(supra p. 163, 8 sq.).* | 24 Ps.-Archyt. fr. 3 *(ed. F. Schulte).* | 38 Mich. Ap. Obiect. c. 2, 3 *(supra p. 163, 16—18).*

Ε.Υ. Δ... Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

2 Ἀνδρόνικος. Ἔοικας σὺ οὐ δόγματα μόνον καὶ ὅρους φιλοσοφίᾳ προσήκοντας, ἀλλὰ καὶ ἃ παισὶν ἀρχομένοις δῆλα, ἀγνοεῖν. τίς γὰρ οὐκ ἄν σου καταγελάσειεν, ἐπινοίαις ψιλαῖς ἐν τοῖς ἀτόμοις τὸ καθόλου λέγοντος θεωρεῖσθαι; εἰ γὰρ ἐν τοῖς ἀτόμοις θεωρεῖται, οὐκ ἐπινοίᾳ ψιλῇ, ἀλλ' ἐπινοίᾳ ἂν θεωροῖτο. εἰ δ' ἐπινοίᾳ θεωρεῖται ψιλῇ, ὕστερον κατὰ συμβεβηκός ἐστι καὶ οὐκ ἐν τοῖς ἀτόμοις τὸ εἶναι ἔχον — διπλοῦ γὰρ ὄντος τοῦ καθόλου κατά γε τοὺς ἐκ τοῦ περιπάτου ἐν τοῖς πολλοῖς — μετὰ τὰ πολλά. τὰ γὰρ πρὸ τῶν πολλῶν, εἰ καί τινες τῶν ὑπομνηματιστῶν οὐ Πλάτωνι μόνον, ἀλλὰ καὶ Ἀριστοτέλει προσποιοῦσιν, ἀλλ' ἡμῖν τὸ τοῖς πλείστοις δοκοῦν θετέα τὰ νῦν ἂν εἴη. ἐν τοῖς πολλοῖς μέν φασι τὸ ἐν τοῖς ἀτόμοις οὐσιωδῶς κατ' ἐπίνοιαν ἔξω τοῦ ἡμετέρου νοῦ θεωρούμενον εἴτε ἐξῃρημένον εἴη καὶ ἀκατάτακτον εἴτε καὶ κατατεταγ- B 9v μένον. μετὰ τὰ πολλὰ δὲ τὸ ἐν ταῖς ἡμετέραις ἐννοίαις ἐξ ἀφαιρέσεως ὑφιστάμενον, ὑστερογενὲς ὂν καὶ τὴν τοῦ κοινοῦ μᾶλλον καὶ ἀδιαφόρου ἔννοιαν ἐπιδεχόμενον, ἐννοηματικὸν καὶ ὂν καὶ καλούμενον.

3 Εἰ μὲν οὖν τοσαύτην ἀμαθίαν νοσεῖς, ὥστε τά γε τοιαῦτα ἀγνοεῖν, ἐλεῶ σε τῆς κακοδαιμονίας, καί σοι μεταδοτέα ἂν εἴη αἰσθήσεως. εἰ δ' οὐκ ἀγνοῶν ἑκὼν εἶναι ἐθελοκακεῖς ἢ καὶ κραιπαλῶν ταῦτα σὺ γέγραφας, πληγῶν σοι δεῖ καὶ μάλα πολλῶν. τί γὰρ μαθὼν ὑβρίζεις εἰς ἄνδρας, ὧν οὐδὲ τὸ πυκτίον ἄξιος ἂν εἴης λαβὼν ἕπεσθαι σφίσι, καθαπερεί τις τῶν οἰκετῶν; κακοήθης δ' ὢν αὐτὸς καὶ ἀχάριστος, Ἀριστοτέλη τοιοῦτον καλεῖς, τὰς ἐκείνῳ μοχθηρίας προστριβόμενος, ἀνδρί, οὗ τὴν σοφίαν οὐχ ἡ Ἑλλὰς μόνον καὶ Ἰταλία, ἀλλὰ καὶ πᾶσα ἡ καθ' ἡμᾶς οἰκουμένη θαυμάζει, καὶ τοὺς λόγους αὐτοῦ καθάπερ τινὰς Πυθικοὺς χρησμοὺς ἀσπάζεταί τε καὶ διὰ τιμῆς ἄγει. καίτοι πῶς ἀχάριστος Ἀριστοτέλης Πλάτωνι, ὅς γε λοιδορεῖται μὲν αὐτῷ οὐδ' ὁπωσοῦν; οὔκουν ἂν εὕροις ἐν πᾶσι τοῖς αὐτοῦ συγγράμμασιν; εὐθύνει δὲ μόνον καὶ ἐλέγχει, ἔνθα τὴν ἀλήθειαν ὁρᾷ κινδυνεύουσαν, Πλάτωνι κἀνταῦθα ἑπόμενος, μηδὲν L 100v εἶναι τῆς ἀληθείας εἰρηκότι πρεσβύτερον. καίτοι εἰ καὶ κακοήθης Ἀριστοτέλης τοῖς πρὸ αὐτοῦ ἀντειπών, πῶς οὐ τοιοῦτος μᾶλλον ἂν εἴη Πλάτων, οὐκ ἐλέγξας μόνον τοὺς πρὸ αὐτοῦ, ἀλλὰ καὶ σκώψας εἰς αὐτοὺς ἱκανῶς, ἀπ' αὐτοῦ γε Ὁμήρου ἀρξάμενος; Ἀριστοτέλης δ' οὐ μόνον οὐ λοιδορεῖται εὐθύνων τοὺς λόγους αὐτῶν, ἀλλὰ καὶ ἀλγοῦντι ἔοικεν ἀντιλέγων αὐτοῖς. καὶ τὴν πρὸς Πλάτωνα ἀντιλογίαν ἐν τοῖς ἠθικοῖς προσάντη καλεῖ, ἀλλ' οὐ κακοήθειαν τὰ τοιαῦτα ἄν τις φαίη νοῦν ἔχων. ἐξέτασιν δὲ τῆς ἀληθείας ἀκριβεστάτην λέγων αὐτά, ὀρθότατα ἂν λέγοι παρὰ δικαίοις κριταῖς.

4 Πῶς δὲ καὶ φθονερὸς Ἀριστοτέλης ἢ δόξης κενῆς ἐραστής, ὅς γε μύθοις μὲν καὶ συμβολικοῖς αἰνίγμασι ποιητῇ μᾶλλον πρέπουσιν οὐκ ἐχρήσατο; οὐδ' αὖ φύρδην τε καὶ ἀτάκτως διδάσκει τὰς ἐπιστήμας, ἀπέραντον πόνον B 10 τοῖς βουλομένοις τοῖς βιβλίοις προσκεῖσθαι παρέχων, τὰ πλείω δὲ μηδὲ διασαφῶν, πότερον τῆς ἀντιφάσεως μέρος τίθεται, πολλὰ δὲ χαίρειν εἰπὼν τοῖς τοιούτοις, τάξει τε ἀρίστῃ καὶ φράσει φιλοσοφίᾳ πρεπούσῃ καὶ ποιητικῆς

---

5 ὕστερον B *add.* καὶ | 17 σὺ γέγραφας L συγγέγραφας B | 28 τοῖς L τοὺς B | 33 ἀκριβεστάτην L] B *om.* | 37 ἐπιστήμας L ἀπιστήμας B



Εθ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἰδίας ἀπηλλαγμένη, ἰδίᾳ περὶ ἑκάστης ἐπιστήμης βιβλία κάλλιστά τε καὶ πλεῖστα συντεταχώς, καὶ οὕτως εὐμενέστατά τε ὁμοῦ καὶ ὠφελιμώτατα τοῦ ἀνθρωπείου γένους προμηθησάμενος. καθαπερεὶ τις πατὴρ κοινὸς τὸ συμφέρον τῶν υἱέων ὁρῶν προὔθηκε τοῖς βουλομένοις αὐτοῖς συνεῖναι παντοδαπῆς οὖσι παιδείας μεστοῖς, σωτὴρ ἀγαθὸς τῷ ὄντι τοῖς πᾶσιν ἀναφανείς.

5 Σὺ δ', ὦ βδελυρέ, τὰς σαυτοῦ μοχθηρίας αἰδοῦ τοῖς ἄλλοις προστρίβεσθαι. ὅς γε φθόνῳ τε καὶ ἐπιχαιρεκακίᾳ καὶ κενῆς ἔρωτι δόξης τοσοῦτον ἑαλώκεις, ὥστε μήτε σοὶ τῶν νῦν μηδένα ἐν λόγοις οἷόν τε ἁμιλλᾶσθαι νομίζειν, τὴν κατὰ διάθεσιν ἄγνοιαν καὶ ταῦτα νοσοῦντι κακίστην οὖσαν, ἐπί τε τοῖς τῶν πέλας τὰ μέγιστα χαίρειν κακοῖς, τὴν ἐκείνων λύπην σαυτῷ ῥᾳστώνην νομίζοντα, ἐπί τε τοῖς ἀγαθοῖς αὐτῶν ἐκτήκεσθαί τε καὶ καταδαπανᾶσθαι καὶ ἀποπνίγεσθαι ὑπὸ τοῦ ἐνοικοῦντός σοι φθόνου καθαπερεί τινος πικροτάτου σητός, ὡς καὶ προσαγγέλλειν δι' αὐτὸν σαυτὸν ἕτοιμον εἶναι οὐδὲ ζῆν βουλόμενον διὰ βασκανίαν, ὡς δὴ τοῖς καὶ ὁπωσοῦν σου διάπειραν εἰληφόσι πεφώρασαι.

6 Ἀλλὰ δὴ καὶ Θρᾷκα Ἀριστοτέλη πρότερον, Πλάτωνα δὲ Ἀθηναῖον ἐκάλεις, ὡς δὴ τοῦ θεοῦ οὐδέσιν ἄλλοις ἢ Ἀθηναίοις τὴν τῆς ἀληθείας εὕρεσιν
L 101 ἀπονείμαντος. καίτοι καὶ Πυθαγόρας καὶ Τίμαιος, οἷς ἕπεσθαι φής, οὐκ Ἀθηναῖοι. ὁ μὲν γὰρ Λοκρός, Πυθαγόρας δὲ Σάμιος. ἀλλ' οὐδὲ Πλωτῖνος καὶ Πορφύριος. Φοίνικες γάρ. πῶς δ' οὐ συνίης σαυτῷ περιπίπτων νῦν, Πλάτωνι μὲν καὶ Πλήθωνι ἕπεσθαι λέγων, τἀναντία δ' ἐκείνοις φρονῶν; οὐ γὰρ Πλάτων Αἰγυπτίοις τε ἕπετο καὶ Πέρσαις, καὶ πᾶσι μᾶλλον ἢ Ἕλλησι; τί δέ;
B 10v οὐ καὶ Πλήθων τὴν Πλάτωνος θεολογίαν σεμνύνων, ἣν καὶ τὴν πολυτίμητον αὐτοῦ βίβλον φησὶ περιέχειν, τὴν ἀπὸ Ζωροάστρου εἶναί φησιν, ἀνδρὸς Πέρσου καὶ οὐδ' ὁπωστιοῦν Ἑλλάδος φωνῆς ἐπαΐοντος; ἀλλὰ τοῦτο μέν σου τοιοῦτο τερέττισμα. κἀκεῖνο δέ σου πῶς οὐκ ἀγροῖκον, Θρᾷκα Ἀριστοτέλη λέγοντος, ὡς δὴ τῆς πατρίδος αὐτοῦ Θρᾳκικῆς, ἀλλ' οὐ Μακεδονικῆς οὔσης πόλεως, ὡς ἄλλοι τε τῶν ἱστορικῶν φασι, καὶ Πτολεμαῖος ἐν γεωγραφικαῖς ὑφηγήσεσι τῆς Ἀμφαξίτιδος τὰ Στάγειρα παράλιον πόλιν ἀπογραφόμενος, τὴν δὲ Ἀμφαξίτιδα τῆς Μακεδονίας γῆν μετὰ τὴν Ἠδωνίδα κειμένην;

7 Καί μοι δοκεῖς αὐτός, ὦ κάθαρμα, πρὸς μὲν τὸ πρᾶξαί τι καὶ νοῆσαι καλὸν καὶ μάλα τις σκαιὸς καὶ ἀγροῖκος, διαβολὰς δὲ συρράψαι καὶ συκοφαντῆσαι καὶ λοιδορῆσθαι καὶ μάλα νεανικὸς καὶ γεννάδας. ὅπου γε οὐδὲ αἰσχύνῃ λέγων ἕπεσθαί σε Πλάτωνι καὶ Τιμαίῳ καὶ Πυθαγόρᾳ, μηδὲν ὅλως εἰδώς, οὔθ' ὅτι Πλάτων οὔθ' ὅτι Πυθαγόρας ἢ Τίμαιος ἐδογμάτισαν, οὔτ' ἄλλος τις τῶν παλαιῶν. ἀλλ' ἴσως τοῖς Πλήθωνος ἐντυχὼν καὶ οὐδ' ἐκεῖνα καλῶς συνιεὶς οἴει σαυτὸν ὑπ' ἀφροσύνης σοφώτατον γεγονέναι, ὅς γε ὑπὸ βραδυτῆτος νοῦ, ὅσα μὲν τοῖς ζητουμένοις προσῆκε, παρῆκας. συνειλοχὼς δὲ ἅττα ἐκ τῶν Πλήθωνος οὐ δεόντως παρονείρεις, ἀλλ' ἀκαίρως αὐτὰ παραβύεις καὶ παρακολλᾷς, τῶν καττυόντων διαφέρων οὐδέν. ἔστι δ' ὅτε ὑπ' ἀναισθησίας καὶ λόγους ἐξεμεῖς εἰκῇ πρὸς τὴν ὑπόθεσιν συντείνοντας οὐδαμῶς, ὡς δὴ κἀκεῖνο τὸ μηδὲν εἶναι

---

3 τὸ συμφέρον L] B *om.* τὸ | 5 παιδείας L παιδίας B | 21 πᾶσι L πεῖσι B | 38 παρονείρεις L παρονείροις B

Ε.Υ.Α. της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

κοινὸν Ἀριστοτέλει καὶ Πλάτωνι, ὥσπερ Θεοδώρου διϊσχυριζομένου κοινόν τι τοῖν ἀνδροῖν τούτοιν εἶναι. καί μοι ἔπεισι τὸ Ὁμηρικὸν ἐκεῖνο καὶ μάλα ἐν καιρῷ σοι φάναι·

»Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής.«

Ἐπίσχες σαυτοῦ τὴν ἀκόλαστον γλῶτταν, πτύσας τὸ τῆς παροιμίας εἰς κόλπον, μηδὲ κάνθαρος ὢν Ἀριστοτέλει λέοντι μάχου. σαυτὸν μὲν γὰρ τὰ μέγιστα βλάψεις, ἐκείνῳ δ' οὐδένα μῶμον προστρίψῃ, οὐ μᾶλλον ἢ ἥλιον B 11 ἀμαυρῶσαι βουλόμενος βάλλων πηλῷ. ἀήττητον γὰρ τὸ κλέος τοῦ ἀνδρὸς L 101ᵛ καὶ οἱ λόγοι, καὶ οἷοι τοὺς αὐτοῖς ἀντιλέγοντας ῥᾷστα ἂν διολλύναι. ἐάσας οὖν καὶ αὐτός, ἀνθρωπίσκε, ἀντιλέγειν αὐτῷ, καὶ σαυτὸν κατὰ τὸ Δελφικὸν γράμμα γνούς, πυξίον λαβών, τοσούτου γὰρ ἄξιος εἶ, κάθου.

Μιχαῆλος. »Οὐκ ἔρρωταί σοι ὁ λόγος καίπερ μέγα αὐχοῦντι ἐπ' ἐπιστήμῃ 10, 1 τῇ λογικῇ.«

Ἀνδρόνικος. Ἔρρωται καὶ μάλα καλῶς, ὦ ἠλίθιε. καὶ ἔοικας σύ, μᾶλλον 2 δὲ καὶ πάνυ δῆλος εἶ, σοφίσασθαι μὲν καὶ παραλογίσασθαι καὶ μάλα πρόθυμος εἶναι· ἀεὶ γὰρ ἡ φύσις σου ῥέπει πρὸς τὸ κακοποιόν, ὑπ' ἀβελτηρίας οὐδὲ τοῦτο οἷός τε εἶναι ποιεῖν, ὡς ἐξ ἄλλων τε κομιδῇ ἑάλως καὶ οὐχ ἥκιστα ἐκ τῶν νῦν ἀντιλογιῶν. οὐδὲ γὰρ ἀρχὰς γοῦν ἐπιστήμης λογικῆς ὅλως εἰδὼς φαίνῃ. ἔπειτα αὐτὸς ὢν τετυφώμενος Θεόδωρον ἀλαζόνα καλεῖς, ἄνδρα τὸ μέτρον τε ἐν πᾶσι τηροῦντα καλῶς καὶ τὸ εἶναι πρὸ τοῦ δοκεῖν εἴπερ τις ἄλλος τιμῶντα, ὡς μηδένα εἶναι τῶν ἐκείνῳ ἐς δεῦρο συγγενομένων, ὃς οὐχ ἄγαταί τε καὶ ὑπερεπαινεῖ τὸ σῶφρόν τε καὶ φιλόσοφον ἦθος αὐτοῦ. πάντας γὰρ ὡς ἀληθῶς ὁ ἀνὴρ εἰς τὴν αὐτοῦ εὐφημίαν ἀνήρηται. τὸ δ' ἐν πᾶσιν ἀγχίνουν καὶ ἀκριβὲς τοῦ ἀνδρός, οὐκ ἐν τῷ διαλέγεσθαι μόνον, τίς οὐχ ὑπερθαυμάζει; ὃν αὐτός, ἀμαθέστατε, ἐξελεγχθῆναι φῂς μηδ' ὁτιοῦν ἐπαΐοντα διαλεκτικῆς, ἐν Ἰταλίᾳ καὶ παιδευθέντα καὶ διαπρέψαντα καὶ τῶν πρώτων ὑπὸ τῶν ἑταίρων ἀξιωθέντα τιμῶν καὶ ὑπὸ τῶν τῇδε σοφῶν χειροτονηθέντα διδάσκαλον. ἀλλὰ δὴ καὶ τοσαύτης νῦν οὔσης ἀφθονίας ὧδε σοφῶν ἀνδρῶν, πῶς δὴ πιστεύσειεν ἄν τις τοσοῦτον χρόνον αὐτοὺς ἀπατᾶσθαι, ὥστε αὐτὸν τούτους Ἕλληνα Ἰταλοὺς οὕτω καὶ φιλεῖν καὶ ἐπαινεῖν καὶ ταῖς τιμαῖς τιμὰς προστιθέναι καὶ ταῖς δωρεαῖς δωρεάς, εἰ μὴ δι' ὑπερβάλλουσαν ἀρετήν τε καὶ λόγους; οὐ γὰρ διὰ σπάσιν σοφῶν ἀνδρῶν, οὔ. πῶς δὲ καὶ οὐκ ἐρρῶσθαι φῂς τὸν λόγον, ὅς γε καὶ μάλα εὖ ἔχει; ἀληθῆ τε γὰρ ἔλαβε καὶ συλλογιστικῶς συνεπέρανε.

Σὺ δ' εἰ μὲν τὸ δεύτερον ἀρνήσασθαι τῶν λημμάτων ἐβάλου, τί σοι βούλεται 3 τὸ μὴ ἐν τῇδε τῇ ὑποθέσει τὸ ἀξίωμα ἀληθεύειν, ἢ ἵν' ἀφρονέστατος ἀνθρώπων B 11ᵛ ἀναφανῇς; εἰ δὲ τὸ πρότερον ἀρνήσασθαι βούλει, ἑχομένως μὲν τῷ σῷ σκοπῷ λέγεις. πληγῶν δὲ ὅμως σοι δεῖ τοιαῦτα ἀρνουμένῳ ἀξιώματα, ἅ γε, οὐδεὶς ὅστις οὐκ ἂν ἀξιώσειε, δῆλα καὶ τυφλοῖς ὄντα. ἀεὶ γὰρ δι' ὃ ὑπάρχει ἕκαστον,

10 ἀντιλέγειν L ἀντιλέγων B | 19 τετυφώμενος L τετυφόμενος B | 20 εἴπερ L ὥσπερ B | 22 ὑπερεπαινεῖ L ἐπαινεῖ B | 26 διαπρέψαντα L διατρίψαντα B

4 Hom. Il. B 246. | 12 Mich. Ap. Obiect. c. 3, 3 *(supra p. 164, 19 sq.)*. | 35 cf. Mich. Ap. Obiect. c. 3, 4 *(supra p. 164)*.



Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

L 102 ἐκεῖνο μᾶλλον ὑπάρχει. εἰ οὖν διὰ τὰ καθόλου τὰ καθ' ἕκαστα, τὰ καθόλου μᾶλλον οὐσίαι. εἰ δὲ διὰ τὰ καθ' ἕκαστα τὰ καθόλου, τὰ καθ' ἕκαστα μᾶλλον οὐσίαι. ἀλλὰ μὴν διὰ τὰ καθ' ἕκαστα τὰ καθόλου. μὴ ὄντων γὰρ τούτων οὐδ' ἂν τὰ καθόλου εἶεν ἐν τοῖς καθ' ἕκαστα τὸ εἶναι ἔχοντα. τὰ καθ' ἕκαστα ἄρα μᾶλλον οὐσίαι. αὐτὸς δὲ τὸ μὲν τὰ τοιαῦτα ἐλέγχειν ὑπ' ἀδυνασίας ἐξέκλινας. ἀπατηθεὶς δὲ καὶ νομίσας ταὐτὸν εἶναι τὸ δι' ὃ τῷ ἐξ οὗ, ἔτι πρὸς τὸ ἀξίωμα ἀπαντᾷς δεικνύς, ἐφ' ὧν ὀρθῶς καὶ ἐφ' ὧν οὐκ ὀρθῶς ἂν ῥηθείη.

4 Ἴδωμεν δὲ οὑτωσί. διὰ τὸν θεὸν φὴς τὰ νοητά, καὶ διὰ τὸν Ὀδυσσέα Τηλέμαχος. καίτοι τὸ μὲν διὰ τὸν θεὸν τὰ νοητὰ λέγειν ἀληθές, ᾗ τελικόν ἐστιν αἴτιον. διὰ τὸν Ὀδυσσέα δὲ ὁ Τηλέμαχος, πῶς μὴ ὄντος τελικοῦ αἰτίου τοῦ Ὀδυσσέως; τὸ μὲν γὰρ δι' ὃ τῷ τελικῷ ἀπονέμομεν, τῷ δὲ ὑλικῷ τὸ ἐξ οὗ. τῷ δὲ ποιητικῷ, εἰ μὲν τῆς αὐτῆς ἐστι φύσεως τῷ ἀποτελουμένῳ, καὶ αὐτῷ οὐδὲν κωλύει τὸ ἐξ οὗ ἀπονέμειν, εἰ δ' οὐ τῆς αὐτῆς, τὸ ὑφ' οὗ. ὑπὸ θεοῦ μὲν γὰρ τὰ πάντα παρῆχθαί φαμεν, ἐκ τοῦ Σωφρονίσκου δὲ τὸν Σωκράτη. ὄντος οὖν διὰ Σωφρονίσκον Σωκράτους, τελικὸν αἴτιον ὁ Σωφρονίσκος ἐστί. μὴ ὄντος δὲ τελικοῦ τοῦ Σωφρονίσκου, οὐ δι' ἐκεῖνον, ἀλλ' ἐκείνου ὁ Σωκράτης. οὑτωσὶ μὲν οὖν λαμβάνοντι τὸ δι' ὅ, ἕωλός σοι ὁ λόγος δοκεῖ. ψευδῆ τε γὰρ λαμβάνεις καὶ καθ' ἡμῶν οὐδ' ὁτιοῦν συμπεραίνεις. ἢν δ' ὡς τὸ οὗ ἄνευ τὸ δι' ὃ λαμβάνῃς, ὥσπερ φαμὲν διὰ τὸν ἀέρα τὰ ζῷα ἀναπνεῖν, ὡς ἄνευ αὐτοῦ ἀναπνεῖν μὴ δυνάμενα, καθ' ἡμῶν μὲν οὐδ' οὕτω περαίνεις οὐδέν. ἡμεῖς γὰρ
B 12 τὰ γένη καὶ τὰ εἴδη διὰ τὰς πρώτας οὐσίας εἶναί φαμεν, ὡς μὴ οὐσῶν ἐκείνων μηδὲ ταῦτα οἷόν τε εἶναι. τό γε μὴν διὰ Σωφρονίσκον λέγειν εἶναι Σωκράτη, ὡς δὴ μὴ ὄντος Σωφρονίσκου μηδ' ἐκεῖνον εἶναι, οὔτ' εὔλογον οὔτ' ἀληθές. περιῆν γὰρ Σωκράτης καὶ Σωφρονίσκου τεθνηκότος. ἀλλὰ δὴ κἀκεῖνο πῶς οὐ γελοῖον, ἐφ' οἷς τὸ ἁπλοῦν ἁπλοῦ τίθεσαι αἴτιον, ὡς δὴ μὴ καὶ συνθέτου δυνατὸν εἶναι; καὶ ὡς ἔοικε, σὺ σαυτοῦ τὸν σὸν πατέρα αἴτιον νομίζεις μόνον, περαιτέρω δ' οὐδέν. οὐδὲ τὸν τοῦ ἡλίου νοῦν σὺ νομίζεις αἴτιον ἄρα, οὐδέ γε τὴν τοῦ κόσμου ψυχήν, ἧς τὰς ἐνεργείας καὶ μέχρι τῶν ἑλίκων φθάνειν Πλήθων διϊσχυρίζεται.

5 Ταυτὶ μὲν οὖν σοῦ τοιαῦτα. ὁ δὲ μετὰ τοῦτό σου λόγος τί σοι πρὸς τῶν
L 102v λόγων αὐτῶν βούλεται; οὐδὲν γὰρ πρὸς ἡμᾶς, κἂν εἰ τὸ μὲν σύνθετον ἐξ ὕλης καὶ εἴδους, τὸ δὲ εἶδος τῆς ὕλης μᾶλλον αἴτιον τοῦ συνθέτου. οὐδὲ γὰρ τῷ ταῦτα εἶναι τὸ τὰ εἴδη τῶν καθ' ἕκαστα μᾶλλον εἶναι οὐσίας ἐξ ἀνάγκης συμβαίνει, ἀλλὰ τὸ τὸ εἶδος μᾶλλον οὐσίαν εἶναι τῆς ὕλης. ὃ δὴ καὶ ἡμεῖς τιθέμεθα Ἀριστοτέλει ἑπόμενοι, τὸ μὲν εἶδος θεῖον καὶ ἀγαθὸν καὶ ἐφετὸν λέγοντι, τὴν δὲ ὕλην αἰσχρὰν καὶ ὅσα τῆς ὑφέσεως, εἰ καὶ μὴ καθ' αὑτήν, ἀλλὰ κατὰ συμβεβηκός. εἰ δὴ οὖν τὰ τοιαῦτα ἀγνοεῖς, τί τοῦ Κοροίβου διενήνοχας, εἰπέ μοι.

11, 1 Τουτὶ μὲν οὖν αὐτῷ τοσοῦτον κατόρθωμα. ὁ δ' ὥσπερ τι μεγάλα τοῖς προκειμένοις συμβαλλόμενον συμπεράνας ἐπιφέρει ἕτερον λόγον αὐτός τε ἀπατώμενος καὶ ἡμᾶς ἀπατῆσαι θέλων. φησὶ γὰρ

---

34 τὸ τὸ εἶδος B] L *om.* τὸ

Ε.Υ.Δ της Κ.τ.μ
ΙΩΑΝΝΙΝΑ 2006

Μιχαῆλος· »Ἔτι ἕτερον ἐνεργείᾳ μὴ ὂν αὐτό τε εἰδοποιεῖ καὶ πρὸς τὸ ἐντελεχείᾳ παράγει. ἐκεῖνό ἐστι πρῶτον ὂν καὶ μᾶλλον ὑπάρχον. τὰ δὲ εἴδη τὰ καθ' ἕκαστα παράγει εἰς τὴν ἐνέργειαν, καὶ ταῦτα τὴν κατὰ μέρος.«

Ἀνδρόνικος. Εἰ μὲν ἐξῃρημένα τὰ εἴδη τῆς ὕλης ἡμεῖς ἐτιθέμεθα, λόγον 2
ἂν ἴσως εἶχεν, ὅπερ αὐτὸς φῄς. ἐπειδὴ δὲ ἔνυλα ταῦτα τιθέμεθα, οἷον βεβαπτισμένα ἐν τῇ ὕλῃ ὑπάρχοντα, οὐκέτι συγχωροῦμεν, ὅπερ αὐτὸς οἴει συνάγεσθαι. οὐ γὰρ ἁπλῶς τὰ εἴδη τὰ καθ' ἕκαστα παράγει εἰς τὴν ἐνέργειαν, ἀλλ' ἀρχὴ καταβληθεῖσα πρῶτον ἐν τῇ ὕλῃ, ἥτις δεκτικὴ αὐτῆς τε τῆς ἀρχῆς καὶ τῶν B 12ᵛ
μετ' αὐτὴν ἑπομένων ἐστίν. ἐκείνη μὲν ἐποίησε τοδὶ οὗ ποιητικὴ πέφυκε, κἀκεῖνο ἄλλο, καὶ τοῦτο ἕτερον, μέχρις ἂν τοῦ τέλους τύχωσι. τοῦτο δ' ἐστὶ τὸ φυσικὸν εἶδος, οὗπερ ἀρχὴ τὸ καταβληθὲν πρῶτον ὑπῆρχεν. καθ' ὅσον μὲν οὖν τοῦ εἴδους ἐφιεμένη ἡ φύσις πάντα ποιεῖ, ὑφ' οὗ κινεῖται, οὐχ ὡς εἴδους μόνον, ἀλλὰ καὶ ὡς τέλους, καὶ τούτου τυχοῦσα ἵσταται καὶ οὐ πολυπραγμονεῖ περαιτέρω, ὑπὸ τῶν εἰδῶν τὰ καθ' ἕκαστα παράγεσθαι ἂν ῥηθείη. καθ' ὅσον δὲ τὰ εἴδη, δυνάμει ὄντα ἐν τῇ ὕλῃ, ἐνεργείᾳ τοιαῦτα γίνεται διὰ τὰ καθ' ἕκαστα — ὁ γὰρ δυνάμει ἄνθρωπος διὰ Καλλίαν ἐνεργείᾳ τοιοῦτος γέγονε —, τὰ εἴδη διὰ τὰ καθ' ἕκαστα εἰς τὸ ἐνεργείᾳ παράγεσθαι ἂν ῥηθεῖεν. καὶ μᾶλλόν τε οὐσίαι καὶ διὰ τοῦτο τὰ καθ' ἕκαστα τῶν καθόλου ἂν εἶεν, ὡς μὴ ἂν δύνασθαι ὑπάρχειν μὴ ὄντων γε τῶν καθ' ἕκαστα, ἐν αὐτοῖς τὸ εἶναι ἔχοντα, καὶ διὰ ταῦτα τὸ ἐνεργείᾳ ὑπάρχειν ἔχοντα καὶ ἐνεργείᾳ ὑπὸ τούτων περιεχόμενα, κἂν ἐκεῖνα δυνάμει ταῦτά γε περιέχῃ. εἰ δὲ καὶ τὰ καθ' L 103
ἕκαστα τοῖς καθόλου συναναιρεῖσθαί φαμεν, ἀλλ' οὐχ ὡς ἐν ἐκείνοις τὸ εἶναι ἔχοντα, ἀλλ' ὡς ἐκείνων συμπληρωτικῶν ὄντων τῆς οὐσίας αὐτῶν.

Τουτὶ μὲν οὖν σου τὸ γρῖφον, ὡς ὁρᾷς, διαλέλυται. σὺ δ' ὥσπερ μετ' 5
ἐπιστήμης ἁπάσης τοὺς λόγους πεποιηκὼς μάλα σοβαρῶς τοὺς ὑπὸ τῶν ἄλλων εἰρημένους ἀξυμβλήτους καλεῖς, ὡς δὴ τῷ οὕτω φάναι καὶ οὕτως ἔχειν ἑπόμενον, ἀλλὰ μὴ καὶ τυφλῷ δῆλον ἐσόμενον, τίς ὁ τοῖς ἀσυμβλήτοις παρὰ πάντα τὸν λόγον χρώμενος. μόλις δὲ νῦν ἀνανήψας, πρότερον κραιπαλῶν, διδοὺς τὴν προτέραν τῶν προτάσεων, ἀρνούμενος δὲ τὴν ἑτέραν, τὰ ζητούμενα φῂς λαμβάνειν ὡς ὁμολογούμενα, ὥσπερ εἰ ἐτίθει ταύτην ἀξιωματικῶς, ἀλλὰ μὴ ἀποδεδειχὼς ἐτύγχανεν ὤν. σὺ δ', εἰ μὲν οἷός τε εἶ λόγῳ αἱρεῖν τὰ καθόλου τά γε ἐν τοῖς πολλοῖς, μὴ οὐκ ἀδύνατον εἶναι τῶν πρώτων μὴ οὐσῶν οὐσιῶν — τοὐναντίον γὰρ Θεόδωρός τε καὶ πρό γε αὐτοῦ Ἀριστοτέλης ἀποδεδείχατον — τί οὐχ αἱρεῖς; εἰ δ' οὐχ οἷός τε εἶ, τί ληρεῖς ὥσπερ ἀπ' ὄνου καταπεσών; B 13
πῶς δὲ καὶ ἀσυμβλήτους φῂς τὰς προτάσεις, ἐν οἷς τὸ μέσον, ᾧ τὰ ἄκρα συνάπτεται, ὑπόκειται μὲν τῷ πρώτῳ, κατηγορεῖται δὲ τοῦ ἐσχάτου;

Μιχαῆλος. »Εἰπέ, πρὸς θεοῦ, πόθεν ἔμαθες λέγειν τὰ εἴδη τὸ εἶναι 12, 1
ἔχειν διὰ τὰ καθ' ἕκαστα, ἀναγκαῖον ὂν τὰ καθ' ἕκαστα ὑπάρχειν διὰ τὰ εἴδη, λόγοι τοῦ θεοῦ ὄντα.«

---

3 καὶ ταῦτα L] B *om.* | 14 ῥηθείη L ῥηθεῖεν B | 24 γρῖφον] γρύφον L B | 26 τῷ οὕτω L τὸ οὕτω B | 31 οἷός τε L] B *om.* τε | 37 εἰπέ *scripsi* ἐπεὶ L B

1 Mich. Ap. Obiect. c. 3, 5 *(supra p. 165, 7—9)*. | 37 Mich. Ap. Obiect. c. 3, 5 *(supra p. 165, 21—23)*.

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

2 Ἀνδρόνικος. Εἴρηται πρότερον, ὡς οὐ περὶ τῶν εἰδῶν ἐκείνων ὁ λόγος ἡμῖν, ἀλλὰ περὶ τῶν ἐν τοῖς πολλοῖς. σὺ δ', ἐξ ὧν τε εἶπες, ἐξ ὧν τε νῦν λέγεις, τήν τε διαφορὰν πάνυ τοι ἐλέγχῃ μὴ συνιείς, καθ' ἣν Πλήθων πρὸς Ἀριστοτέλη περὶ οὐσίας διαφέρεται, ὅπερ αὐτὸς ἀρχόμενος διϊσχυριζόμην, τά τε εἴδη τὰ χωριστὰ μηδ' ὁπωσοῦν συνιέναι πεφώρασαι, ὅπως οἱ περὶ Πλάτωνα τίθενται, ἐν τῷ τοῦ μεγάλου θεοῦ νῷ ταῦτα λέγων ὑπάρχειν καὶ λόγους αὐτοῦ ταῦτα δημιουργικοὺς εἶναι οὐκ ἀνουσίους. ἥν τε οὖν τὸ πρῶτον νοῦν καλῇς, ἁμαρτάνεις τῶν περὶ Πλάτωνα Περιπατητικὴν τὸ τοιοῦτο καινοτομίαν καλούντων καὶ οὐχ ὑπὲρ τὸν νοῦν μόνον, ἀλλὰ καὶ ὑπὲρ τὸ ὂν αὐτὸ τιθεμένων· ἥν τε τὸν προσεχῆ τοῦδε τοῦ οὐρανοῦ δημιουργὸν νοῦν καλῇς, καὶ οὕτω πλημμελεῖς οὔτε διακρίνων ἀπ' αὐτοῦ τὰ εἴδη οὔτε πρὸ αὐτοῦ ταῦτα τιθέμενος, δέον δια-
L 103v κεκριμένα τε καὶ πρὸ αὐτοῦ ταῦτα τίθεσθαι, ὡς διὰ πολλῶν ἐφόδων ὁ Πρόκλος δείκνυσι, κἂν μὴ τὸ ἓν δὲ μόνον τῷ πρώτῳ τις, ἀλλὰ καὶ τὸ ὂν ἀναθῇ, τὸν δὲ δημιουργὸν συνάψῃ τοῖς εἴδεσιν. ὃ δὴ καὶ Πλήθων ἀξιοῦν δοκεῖ.

3 Καὶ οὕτω διχῇ πλημμελεῖς, τῇ μὲν τὸ πρῶτον νοῦν καλῶν, ὑπὲρ τὸν νοῦν τιθεμένων ἐκείνων, τῇ δὲ τὰ εἴδη μὴ διακρίνων ἀπὸ τοῦ νοῦ. Πλάτων γε μὴν ἔοικεν ὑπὲρ τὸ ἓν ὂν τὸ ἐξῃρημένον ἓν τίθεσθαι ἀξιῶν, ἐν οἷς ἐν Φιλήβῳ μὲν εἰπὼν μεμῖχθαι τὸ ὂν ἐξ ἀπειρίας καὶ πέρατος, τούτοιν ἀμφοῖν τὸν θεὸν ὑποστάτην φησίν, οὕτως ἐκεῖ τὸ πρῶτον καλῶν. ἐν δέ γε τῇ πρώτῃ τῶν Παρμενίδου ὑποθέσεων σαφῶς ὑπὲρ τὸ ἓν ὂν τὸ ἐξῃρημένον ἓν ἀποδείκνυσιν, ὡς δὲ κἂν τῷ Σοφιστῇ ἀπηντηκὼς ὁ Ἐλεάτης ξένος πρὸς Παρμενίδην, ἓν
B 13v εἰπόντα τὸ ὄν, ἄτοπα πλείω ἐπιφέρει τοῖς μὴ διακρίνουσι τὸ ἐξῃρημένον ἓν τοῦ ἑνὸς ὄντος. τό τε γὰρ πλῆθος, φησίν, ἐν τοῖς οὖσιν οὐκ ἔσται. τά τε πράγματα ὀνομάζειν οὐχ οἷόν τε. καὶ τό τε ὄνομα τῷ πράγματι καὶ τὸ πρᾶγμα τῷ ὀνόματι ταὐτὸν ἔσται. καὶ ταύτῃ τό τε πρᾶγμα πράγματος, ἀλλ' οὐκ ὀνόματος πρᾶγμα, καὶ τὸ ὄνομα τοῦ ὀνόματος ὄνομα, ἀλλ' οὐ πράγματος ἔσται.

4 Ὧν αὐτὸς ἐπαΐων οὐδέν, τά τε παρατυχόντα μηδενὶ ξὺν νῷ φθέγγῃ, μᾶλλον δ' ἐμεῖς »ὅ τι κεν ἐπ' ἀκαιρίμαν γλῶσσαν ἔπος ἔλθῃ« προφέρων εἰκῇ καὶ νόθ' ἄττα δόγματα τολμᾷς ὑπ' ἀμαθίας Πλάτωνι προσποιεῖν, Πλατωνικὸς μὲν καὶ λίαν γλιχόμενος εἶναι, οὔπω γε μὴν τοῖς Πλάτωνος προστυχὴς γεγονώς, δέον ἢ μετὰ ἀκριβεστάτης ἀληθείας καὶ ἐπιστάσεως περὶ τῶν τοιούτων ἀποφαίνεσθαι, οὕτω τοι θείων ὄντων καὶ ὑψηλῶν καὶ τὴν τῶν πολλῶν ἕξιν ὑπερβαλλόντων, καὶ ἐν οἷς μέγιστος κίνδυνος ἀποπεπλανῆσθαι τοῦ ἀληθοῦς, ἢ τῷ δευτέρῳ χρησάμενον, ὅ φασι, πλῷ σιωπὴν ἄγοντα τὰ σαυτοῦ τε πράττειν καὶ τὰ μὴ προσήκοντά σοι μὴ προσποιεῖσθαι, ἀλλὰ μὴ λέγοντα, περὶ ὧν οὐκ οἶσθα, ἀσχημονεῖν καὶ γέλωτα ὀφλισκάνειν παρὰ πᾶσιν, ὅσοις νοῦ καὶ σμικρόν τι προσήρτηται. ἀποσεμνύνεις μὲν γάρ σου τὸν λόγον, παρὰ πάντας ἀνθρώπους λέγων ἄνθρωπον εἶναι καὶ παρὰ πάντας ἵππους ἵππον, καὶ τὴν ἀνθρωπίνην εὐδαιμονίαν ἐν τῇ τῶν εἰδῶν θεωρίᾳ Πλάτωνα διϊσχυριζόμενος τίθεσθαι, ἐν

---

20 σαφῶς L σαφὲς B] L *add.* ἃ | 34 χρησάμενον B χρησάμενος L

18 cf. Plat. Phil. 16 c. | 20 cf. Plat. Parm. 158 d. | 23 cf. Plat. Soph. 261 d. Crat. 430—439. | 28 Dion. Hal. De compositione verborum *(ed. Schäfer)* p. 12.

Ε.Υ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῇ τἀγαθοῦ θεωρίᾳ, μᾶλλον ἐν πολιτείας αὐτὴν ἀξιοῦντος ἐκείνου. πρὸς ἣν
δὴ δόξαν καὶ Ἀριστοτέλης ἐν ἠθικοῖς ἀπαντᾷ. ἢν δέ τίς σε ἔρηται τὸν ἄνθρω-
πον ἐκεῖνον καὶ τὸν ἵππον καὶ τὴν εὐδαιμονίαν ἐκείνην τίς ἐστιν, ἐλεγχθήσῃ L 104
παρὰ πόδα μηδὲν εἰδώς. ἀποκρινόμενος μὲν μηδ' ὁτιοῦν, ἰλιγγιῶν δ' ὑπ' ἀπορίας,
πολλὰ χασμώμενος καὶ ὁ νῦν μεγαλαυχίας τε καὶ φρονήματος ἀπρεποῦς ἔμπλεως
ὤν, τῶν κανθηλίων τότε εὖ ἴσθ' ὅτι διοίσεις οὐδέν.

Ἔπειτα τοσαύτην ἀμαθίαν αὐτὸς νοσῶν καὶ οὕτω τοι πόρρω τῆς ἀληθείας 5
ἀποπλανώμενος, Θεοδώρῳ φῂς μὴ πάνυ τοι τῆς ἀληθείας μεμεληκέναι, ὅτι B 14
οὐχ ἕπεται τῇ Πλήθωνος δόξῃ, ἀλλὰ τῇ Ἀριστοτέλους, ἀνδρὸς πολλῷ ἀμείνονος
ἢ κατὰ Πλήθωνα. αὐτὸς μὲν ὁ Θεόδωρος οὐκ ἔσθ' ὅπου τὸ ψεῦδος τῆς ἀληθείας
κενῆς ἕνεκεν δόξης, ὡς αὐτὸς φῄς, πεφώραται προτετιμηκώς. τοὐναντίον μὲν
οὖν οὐδὲν αὐτῆς μᾶλλον ἐκ νέου παρὰ πάντα τὸν αὑτοῦ βίον πεπρεσβευκὼς
φαίνεται. οὔκουν αὐτῷ οὔτε περὶ τῶν μεγίστων, ἐν οἷς πολὺς κίνδυνος ἀπο-
πεπλανῆσθαι τοῦ ἀληθοῦς, οὔτε περὶ τῶν φαυλοτάτων παρὰ τὸ ἀληθὲς οὔτε
δεδόξασταί τι ὡς γοῦν ἐφικτὸν ἀνθρωπίνῃ φύσει οὔτε συγγέγραπται. ἀλλὰ
φύσει τε ἀρίστῃ καὶ πρὸς τῇ φύσει σπουδῇ καὶ πρό γε τούτων τῷ τοῦ θεοῦ
φόβῳ, δι' ὃν ἥ ἔλλαμψίς τε καὶ ἡ τοῦ πόθου πλήρωσις παραγίνεσθον, πάνθ'
ἅπερ ἐγκεχείρηκεν, ᾗ φησι Πλάτων, »δίκην ἐλαίου ἀψοφητὶ ῥέοντος«, λείως
τε καὶ ἀπταίστως καὶ ἀνυσίμως κατορθῶν ἐν ἑκατέρᾳ τῇ φωνῇ φαίνεται.

Σὺ δ', ἔμπληκτε, νοῦ τε παχύτητι καὶ τρόπων μοχθηρίᾳ καὶ κενῆς ἔρωτι 6
δόξης τὸ μὲν ἀληθὲς οὐδέποτ' ἐζήτησας οὔτε παρὰ σαυτοῦ εὑρεῖν οὔτε παρ'
ἑτέρου μαθεῖν. τερατείαις δὲ χαίρων καὶ καινοτομίαις ἀεὶ φασματολογεῖς, καὶ
πλάττων καινά τινα ὅσας ὥρας διηγῇ τοὺς ἁπλουστέρους ἐκπλήττων. μυριάκις
δὲ τῆς ἡμέρας μεταδοξάζων τε καὶ μεταβαλλόμενος νῦν μὲν τοῖς Πλάτωνος
τίθεσαι, νῦν δὲ τοῖς Ἀριστοτέλους, τὰ πλείω δὲ τοῖς Ἀριστίππου καὶ Πύρωνος,
τὸ μὲν ἀληθὲς πάντῃ τε καὶ πάντως ἀπὸ τῶν πραγμάτων ἀφαιρούμενος, τέλος
δὲ νομίζων τὴν κατὰ μέρος σωματικὴν ἡδονήν, δι' ἣν κἂν φονεύσειας κἂν
τὸν πατέρα τὸν σαυτοῦ, εἰ περιῆν, τύψειας, βοσκηματώδη τινὰ καὶ Σαρδανα-
παλικὸν βίον ζῶν, καθάπερ ἀργυρώνητον ἀνδράποδον δέσποιναν θεραπεύων
τὴν Φιλήβου θεόν. καὶ οὔπω λέγω, ὅτι οἷς λόγοις ἐκεῖνοι πειθόμενοι τὰ τοι-
αῦτα ἐτίθεντο. ὅπως τε ἐτίθεντο, τὸ παράπαν οὐκ οἶσθα. ἀλόγως δὲ πρὸς
τὸ δοκοῦν σοι φέρῃ, καθάπερ τῶν πλοίων τὰ ἀνερμάτιστα. οὑτωσὶ πάνυ τοι L 104v
τοῦ ἀληθοῦς λόγον ποιούμενος μέμφῃ τοῖς ἄλλοις ὡς ἀμελοῦσιν αὐτοῦ. B 14v

Μιχαῆλος. »Εἶτ' οὐκ αἰσχύνῃ ἀδύνατον φάσκων τι τῶν ἄλλων εἶναι μὴ 13, 1
οὐσῶν τῶν καθ' ἕκαστα οὐσιῶν. ἆρ' οὐ διαμένουσιν, ὡς ἔφαμεν, τὰ καθόλου;
οὐκ εἰσιν αἱ ψυχαὶ καὶ ὅλως τὰ νοητά;«

Ἀνδρόνικος. Ἀποφθάρηθι, κάθαρμα. αὐτόν σε γὰρ μᾶλλον αἰσχύνεσθαι 2
ἔδει, ἀνδράσι μαχόμενον, πίθηκον ὄντα, οἷς οὐδέν τι αἰσχύνης ἄξιον οὔτ'

---

10 ὁ Θεόδωρος B] L *om.* | 12 αὐτῆς B αὐτῷ L | μᾶλλον L] B *om.* | 18 δίκην L B οἷον *edit* | 21 ἐζήτησας L] B² *corr. ex* ἐζήλωσας | 22 καινοτομίαις L] B² *corr. in* κενοτομίαις | 23 ὅσας ὥρας L ὅσαι ὧραι B

18 Plat. Theaet. 144b. | 34 Mich. Ap. Obiect. c. 3, 6 *(supra p. 165, 33—35)*.

Ε.Ε.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἴρηται οὔτε διαπέπρακται. »μὴ οὐσῶν γάρ, φησὶ Θεόδωρος, τῶν πρώτων οὐσιῶν ἀδύνατόν τι τῶν ἄλλων εἶναι, τῶν ἢ καθ' ὑποκειμένων αὐτῶν λεγομένων ἢ ἐν ὑποκειμέναις αὐταῖς ὄντων.« τά τε γὰρ συμβεβηκότα πῶς ἂν εἶεν μὴ τούτων οὐσῶν; τίνος γὰρ ἂν καὶ εἶεν συμβεβηκότα; τά τε γένη καὶ τὰ εἴδη τά γε ἀχώριστα συναναιρεθείη ἂν τοῖς καθ' ἕκαστα ἀνῃρημένοις. τὴν δὲ ψυχὴν τήν γε ἀνθρωπίνην καὶ τὰς χωριστὰς οὐσίας μήτε καθ' ὑποκειμένων τῶν πρώτων οὐσιῶν λεγομένας μήτε ἐν ὑποκειμέναις αὐταῖς οὔσας, οὐδὲν κωλύει εἶναι μὴ οὐσῶν τῶν πρώτων οὐσιῶν. ἐπεὶ δὲ οὐ μόνον Ἀριστοτέλη, ἀλλὰ καὶ τοὺς αὐτῷ ἑπομένους συκοφαντεῖς ὡς τὸ εἶδος τῇ ὕλῃ συμφθείρεσθαι φάσκοντας, εἰ μὲν καὶ ὁπωσοῦν ἂν ἧψω λόγων Ἀριστοτελικῶν, οὐκ ἂν οὕτως ἠσχημόνεις συκοφαντῶν. ἐκ πολλῶν γάρ τις τῶν Ἀριστοτέλει εἰρημένων δύναιτο ἂν τήν γε ἀνθρωπίνην ψυχὴν ἀθάνατον ἀποδεῖξαι. ἐπεὶ δὲ μηδὲν εἰδὼς αὐτός τε ὑηνεῖς, καὶ τοὺς ἁπλουστέρους ἀναπείθεις ταὐτά σοι φρονεῖν, ἡμῖν τὴν τῆς ψυχῆς ἀποδεδειχόσιν ἀθανασίαν, ἑπομένοις Ἀριστοτέλει, οὐ σοῦ γε ἕνεκα — οὐ γὰρ συνοίσεις ἀσυνετώτατος ὤν —, ἀλλὰ τῶν μὴ ἐντυγχανόντων τοῖς τοῦ Ἀριστοτέλους βιβλίοις, ὡς ἂν μὴ παρακρουσάμενος λάθῃς αὐτούς, οὕτω σου καὶ πρὸς τὸ ἐπιχείρημα ἀπαντητέα ἂν εἴη.

3 Ἐν τοίνυν τῶν περὶ ψυχῆς πρώτῳ· »ὁ δὲ νοῦς ἔοικε, φησίν, ἐγγίνεσθαι οὐσία τις οὖσα, καὶ οὐ φθείρεσθαι. ἢ γὰρ ἂν ἐφθείρετο ὑπὸ τῆς ἐν τῷ γήρᾳ ἀμαυρώσεως.« συμφανὲς οὖν ἐκ τῶν εἰρημένων ἀθανατόν τε αὐτὸν τίθεσθαι
B 15 τὴν ψυχὴν καὶ μάλα ἐρρωμένως ἀποδεικνύναι. ἀκμάζει γὰρ τῷ ὄντι, ἀλλ' οὐ συναμαυροῦται τῷ σώματι τῶν ἄλλων ἐν ὑποκειμένῳ τῷ σώματι οὐσῶν συνακμαζουσῶν τε καὶ συναμαρουμένων αὐτῷ. ἔτι ἐν τῶν περὶ γενέσεως ζῴων δευτέρῳ· ἔοικε δὲ »ὁ νοῦς, φησί, θύραθεν ἐπεισιέναι καὶ εἶναι θεῖος·
L 105 οὐδὲν γὰρ αὐτοῦ ἐπικοινωνεῖ τῇ ἐνεργείᾳ σωματικὴ ἐνέργεια.« εἰ τοίνυν ἔξωθεν ἐπεισέρχεται καὶ ἔστι θεῖος, οὔτ' ἐκ τῆς ὕλης ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ παράγοιτ' ἄν, ἀλλ' ὑπό τινος κρείττονος αἰτίας καὶ τελεωτέρας, τοῦ θεοῦ δηλαδή, διὸ καὶ θεῖος· τὸ γὰρ τοῦ θεοῦ θεῖον οὔτε συνεκτείνοιτο ἂν τῇ ὕλῃ ἐπεισερχόμενον ἔξωθεν. εἰ δὲ καὶ οὐδεμία σωματικὴ ἐνέργεια ἐπικοινωνεῖ τῇ ἐνεργείᾳ αὐτοῦ, χωριστὴν δήπου τὴν ἐνέργειαν ἔχει. εἰ δὲ τὴν ἐνέργειαν καὶ τὴν οὐσίαν χωριστὴν ἕξει — ἐν γὰρ τῷ πρώτῳ τῶν περὶ ψυχῆς φησιν· »εἰ ἔστι τι τῶν τῆς ψυχῆς ἔργων ἢ παθημάτων ἴδιον, ἐνδέχοιτο ἂν αὐτὴν χωρίζεσθαι« — εἰ δὲ ταῦτα, διαμένοι ἂν δήπου καὶ μετὰ τὴν τοῦ βίου τοῦδε ἀπαλλαγήν.

4 Ἔτι ἐν τοῖς περὶ ψυχῆς πολλαχοῦ τὸν νοῦν φησι χωριστόν. »χωρίζεσθαι, γάρ φησιν αὐτόν, καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ.« καὶ »χωρίζεσθαι δὲ μόνον

---

8 οὐσιῶν] B² *in marg.* ὅρα περὶ ἀθανασίας ἀναγκαῖα | 13 ταὐτά σοι *scripsi* ταῦτά σοι L B | 17 αὐτούς L σαυτούς B | 19 ἢ γὰρ L B μάλιστα γὰρ *Bekker* | 26 ἔστι L εἶναι B

1 Theodor. Adv. Plethonem c. 2, 4 *(supra p. 154, 34—36)*. | 17 Arist. De Anima α 4. 408b, 18—20. | 24 Arist. Περὶ ζῴων γενέσεως β 3. 736b, 28 sq. | 32 Arist. De Anima α 1. 403a, 10sq. | 35 Arist. De Anima β 2. 413b, 26sq. | 36 Arist. De Anima γ 6. 430a, 22sq.

Ε.Υ. Ζώτη Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τοῦθ' ὅπερ ἐστί, καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀΐδιον«, καὶ »οὐδὲ μεμῖχθαι εὔλογον τῷ σώματι αὐτόν.« καὶ »τὸ μὲν αἰσθητικὸν οὐκ ἄνευ σώματος, ὁ δὲ χωριστός«, »καὶ οὗτος ὁ νοῦς χωριστὸς καὶ ἀμιγὴς καὶ ἀπαθὴς τῇ οὐσίᾳ.« εἰ οὖν χωριστόν φησι τὸν νοῦν, ἢ τῇ οὐσίᾳ μόνον ἢ τῇ ἐνεργείᾳ ἢ καὶ ἀμφοῖν χωριστὸν δοξάζει. ἀλλὰ τῇ μὲν οὐσίᾳ μόνῃ χωριστὸν ὑπολαμβάνειν αὐτὸν ἡγεῖσθαι οὐκ εὔλογον. ἐν γὰρ τῷ πρώτῳ φησίν· »εἰ μηδέν ἐστιν ἴδιον αὐτῆς,« ἔργον ἢ πάθος δηλαδή, »οὐκ ἂν εἴη χωριστή.« καὶ γὰρ ἀνέργητον μένειν καὶ μάτην εἶναι συνέβαινεν ἂν μετὰ τοῦ σώματος τοῦδε ἀπαλλαγήν. οὐδὲν δὲ οὔτε τὸν θεὸν οὔτε τὴν φύσιν μάτην ποιεῖν ἐν πολλοῖς αὐτός φησιν. ἀλλὰ μὴν οὐδὲ τὴν ἐνέργειαν ἔχοντα χωριστὴν τὴν οὐσίαν ἀχώριστον ἔχειν ὑποληπτέα ἂν εἴη δοξάζειν αὐτόν. ἕσπετο γὰρ ἂν τὸ αἰτιατὸν τοῦ αἰτίου κρεῖττον εἶναι, αἰτίου μὲν τῆς οὐσίας οὔσης, αἰτιατοῦ δὲ τῆς ἐνεργείας, διὰ B 15v μέσης γε μὴν τῆς δυνάμεως. ἄτοπον δὲ τὰ τοιαῦτα καὶ τῷ τυχόντι περιάπτειν, μὴ ὅτι γε Ἀριστοτέλει καὶ ταῦτα ἐν τῷ πρώτῳ λέγοντι· »εἰ ἔστι τι τῶν τῆς ψυχῆς ἔργων ἢ παθημάτων ἴδιον, ἐνδέχοιτο ἂν αὐτὴν χωρίζεσθαι«, λείπεται δὴ καὶ τὴν οὐσίαν χωριστὴν καὶ τὴν ἐνέργειαν αὐτὸν λέγειν. εἰ δὲ τοῦτο, διαμένειν δήπου καὶ μετὰ τὴν τοῦ βίου τοῦδε ἀπαλλαγήν.

Ἔτι Ἀριστοτέλης ἀμερῆ τὴν ψυχὴν ἀποδείκνυσιν, οὐ τὴν λογικὴν μόνον, 5 ἀλλὰ καὶ τὴν αἰσθητικήν. »εἰ γὰρ ἄλλῳ μέν, φησί, μορίῳ ἡ αἴσθησις τοῦ λευκοῦ, L 105v ἄλλῳ δὲ τοῦ μέλανος ἀντιλαμβάνεται, παραπλήσιον ἂν ἦν, ὡς εἰ τοῦ μὲν ἐγώ, τοῦ δὲ σὺ αἴσθοιο.« εἰ δὲ τοῦτο, κρίσις οὐκ ἂν ἦν. ἓν γὰρ δεῖ τὸ κρῖνον εἶναι. ἀμερὴς ἄρα ἡ αἰσθητική. εἰ δὲ τοῦτο, κἂν ἡ λογικὴ πολλῷ κρεῖττον οὖσα. τούτου ὑποτεθέντος, ἐπειδὴ πᾶν τὸ φθειρόμενον ἢ καθ' αὑτὸ φθείρεται, ὡς τὸ μέλαν ὑπὸ τοῦ λευκοῦ, ἐναντίου γε ὄντος, καὶ τὸ σύνθετον εἰς τὰ ἐξ ὧν συνετέθη, ἢ κατὰ συμβεβηκός, ὡς ἡ ἁρμονία τῇ λύρᾳ συμφθαρεῖσα, ἐν ἐκείνῃ τὸ εἶναι ἔχουσα καὶ οὐδ' ὁτιοῦν χωριστόν, ἡ ψυχὴ κατὰ συμβεβηκὸς μὲν οὐκ ἂν φθαρείη — δέδεικται γὰρ ἤδη χωριστὴν ἔχουσα καὶ τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν — ἀλλὰ μὴν οὐδὲ καθ' αὑτό. οὔτε γὰρ εἰς τὰ ἐξ ὧν συνετέθει, διαλυθείη ἄν — οὐ γὰρ σύνθετος ἀμερής γε οὖσα ὡς δέδεικται — οὔθ' ὑπὸ ἐναντίου. οὐθὲν γὰρ αὐτῇ ἐναντίον οὐσία γε οὔσῃ. οὐδαμῶς ἄρα φθείρεται ἡ ψυχή.

Ἐπεὶ οὖν τὸ ἀθάνατον εἶναι τὴν ψυχὴν ἡμῖν ἑπομένοις Ἀριστοτέλει 6 ἱκανῶς ἀποδέδεικται, ἀπαντητέα ἂν εἴη καὶ πρὸς τὸ ἐπιχείρημά σου. τῷ οὖν ἐντελέχειαν λέγειν Ἀριστοτέλη τὴν ψυχὴν ἕπεσθαι οἴει καὶ τὸ θνητὴν αὐτὴν εἶναι, νομίζων ἅπασαν ἐντελέχειαν ἀχώριστον δεῖν εἶναι τοῦ οὗ ἐστιν ἐντελέχεια, ἁπλῶς αὐτὴν λαμβάνων λεγομένην πλεοναχῶς. ἄλλως μὲν γὰρ τὴν φυτικὴν

3 ἀπαθὴς L καθαρὸς B | 4 καὶ ἀμφοῖν L] B *om.* καὶ | 12 αἰτίου L αἰτία B | 24 ὑπὸ B ἀπὸ L | 25 ἡ ἁρμονία B] L *om.* ἡ | συμφθαρεῖσα L συμφαρεῖσα B | 26 χωριστόν B χοριστόν L | 29 αὐτῇ L αὐτὴ B

1 Arist. De Anima γ 4. 429a, 24. | 2 Arist. De Anima γ 4. 429b, 5. | 3 Arist. De Anima γ 5. 430a, 17 sq. | 7 Arist. de Anima α 1. 403a, 11 sq. | 14 Arist. de Anima α 1. 403a, 10 sq. | 19 Arist. ? | 32 cf. Mich. Ap. Obiect. c. 3, 6 *(supra p. 166)*.

Ε.Υ.Ζ.Π.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἄλλως τὴν αἰσθητικὴν καὶ ἄλλως τὴν λογικὴν ἐντελέχειαν εἶναί φαμεν. τὴν μὲν γὰρ φυτικὴν ὡς μορφωτικὴν καὶ διαπλαστικὴν τοῦ τῆς αἰσθητικῆς
B 16 ὀργάνου καὶ λογικῆς, καὶ ὡς χρωμένην αὐτῷ ἁπλούστερόν γε μὴν ἢ κατὰ τὴν αἰσθητικήν τε καὶ λογικήν, καθ' ἣν δὴ καὶ τὰ ἔμψυχα λέγεται ζῆν. τὴν δὲ αἰσθητικὴν ὡς αἴσθησιν τῷ ὀργάνῳ παρεχομένην, καὶ ὡς αὐτῷ χρωμένην ποικιλώτερόν γε ἢ κατὰ τὴν φυτικήν, καὶ ὡς κατὰ τόπον κινοῦσαν, καὶ ἐπὶ τὸ τελειότερον ἄγουσαν, καθ' ἣν δὴ καὶ ζῷον τὸ ἔμψυχον λέγεται. ἁπλῶς δ' ἀμφοτέρας ταύτας οὕτως ἐντελεχείας τοῦ φυσικοῦ καὶ ὀργανικοῦ σώματος καὶ εἴδη διοριζόμεθα ὡς, εἰ καὶ τὸ ἁπλῶς εἶδος τὸ φυσικὸν ἢ καὶ τὸ τεχνητὸν ἐν τῇ προστυχούσῃ ὕλῃ ἐγγίνεσθαι εἴποιμεν οἷον τὸ λίθου καὶ ἀνδριάντος, ἐκείνου ταύτας ὅλας γινομένας, ἀλλ' οὐχ ἐκεῖνο τούτων. τὴν δὲ λογικὴν ὡς ἐπὶ τὸ τελειότατον ἄγουσαν καὶ λογικῶς καὶ χρωμένην καὶ πείθουσαν τὸ
L 106 ὄργανον ζῆν, κοσμοῦσάν τε τὰ πάθη καὶ λόγῳ παιδεύουσαν αὐτὰ πειθαρχεῖν καὶ ἑαυτῆς ποιουμένην ἐκεῖνο, ἀλλ' οὐ ταύτην γινομένην ἐκείνου.

7 Τούτων οὕτως ἐχόντων τὴν μὲν φυτικὴν καὶ τὴν αἰσθητικὴν ἀχωρίστους εἶναι ἀνάγκη, τοιαύτας τε ἐντελεχείας αὐτὰς ὑπάρχειν, μὴ οἵας χωρὶς τοῦ οὗ εἰσιν ἐντελέχειαι εἶναι, ἀλλὰ τῷ σώματι συναπόλλυσθαι τῶν ἐνεργειῶν αὐτῶν ἀχωρίστων οὐσῶν. τί γὰρ ἂν καὶ γεννήσοι ἡ γεννητικὴ χωρισθεῖσα, ἢ ἡ θρεπτικὴ θρέψοι, ἢ αὐξήσοι ἡ αὐξητική; τί δ' ἂν ἡ αἰσθητικὴ κινήσοι κεχωρισμένη; ἢ πῶς ἂν αἴσθοιτο χωρὶς τοῦ σώματος; ὧν δ' αἱ ἐνέργειαι ἀχώριστοι, καὶ αὐτὰς πάντῃ ἀχωρίστους ἀνάγκη εἶναι. τὴν δὲ λογικήν, ἐπειδὴ τῶν ἐνεργειῶν αὐτῆς, ὧν μὲν δηλονότι τοῦ σώματος χάριν αὐτῇ μόνον δεῖ καὶ αἷς οὐχ οἷόν τε χρῆσθαι χωρὶς σώματος, ταύτας ἀχωρίστους τε ἀνάγκη εἶναι καὶ τῷ σώματι συναπόλλυσθαι, ὧν δὲ δεῖ ταύτῃ οὐ τοῦ σώματος μόνον, ἀλλὰ καὶ ἑαυτῆς χάριν καὶ αἷς οἷόν τε χρῆσθαι καὶ χωρὶς σώματος, μᾶλλον δὲ πολλῷ κρεῖττον ἢ μετὰ σώματος, αὗται δ' εἰσὶ τὸ νοεῖν καὶ τὸ βούλεσθαι, ταύτας χωριστάς τε εἶναι καὶ μὴ τῷ σώματι συναπόλλυσθαι, καὶ αὐτὴν ἀνάγκη
B 16ᵛ χωριστὴν εἶναι. τοιαύτην γὰρ αὐτὴν ἐντελέχειαν ὑπάρχειν, οἵαν καὶ χωρὶς τοῦ οὗ ἐστιν ἐντελέχεια εἶναι, καὶ τῷ ὀργάνῳ, ᾧπερ ἐχρῆτο, μὴ συναπόλλυσθαι. ἐπεὶ γάρ ἐστί τις ἐνέργεια ταύτης χωριστὴ σώματος, καὶ αὐτὴν χωριστὴν ἀνάγκη εἶναι καὶ διαμένειν μετὰ τὸν τοῦ σώματος χωρισμόν.

8 Ταῦτ' ἄρα καὶ Ἀριστοτέλης ἀποδοὺς τὸν ὁρισμὸν τῆς ψυχῆς ἐπιφέρει· »ἐνίων δὲ ἡ ἐντελέχεια τῶν μερῶν ἐστιν αὐτῶν«, περὶ τῆς φυτικῆς καὶ αἰσθητικῆς τοῦτο λέγων. »οὐ μὴν ἀλλ' ἔνιά γε οὐδὲν κωλύει« χωριστὰ δηλαδὴ εἶναι, περὶ τῆς λογικῆς τοῦτο λέγων. ἐπεὶ γὰρ ἡ ψυχὴ καὶ πράττει τι χρωμένη τῷ σώματι καὶ θεωρεῖ μὴ δεομένη αὐτοῦ, »οὐδὲν κωλύει«, φησί, μέρη τινὰ χωριστὰ τοῦ σώματος εἶναι »διὰ τὸ μηδενὸς εἶναι σώματος ἐντελεχείας«, κἂν εἰ ἅπασα ἡ ψυχὴ ἐντελέχεια εἴρηται. ἐκώλυε γὰρ ἄν, εἰ καὶ καθ' ὅλην ἑαυτὴν καὶ κατὰ πᾶσαν ἐνέργειαν ἑαυτῆς σώματος ἦν ἐντελέχεια. ἐπεὶ δὲ

---

6 γε *scripsi* δὲ L B | 7 τελειότερον L τελειώτερον B | 9 εἴδη L ἤδη B | 18 γεννήσοι] γεννήσῃ L B | 19 θρέψοι] θρέψῃ L B | αὐξήσοι] αὐξήσῃ L B | κινήσοι] κινήσῃ L B | 20 αἴσθοιτο L αἴσθοισο B | τοῦ σώματος B] L *om.* τοῦ | 21 ἀνάγκη B *trp. ante* ἀχωρίστους | 24 δεῖ L δὴ B

33 Arist. De Anima β 1. 413a, 5—7. | 36 Arist. De Anima β 1. 413a, 7.

ΙΩΑΝΝΙΝΑ 2006